Η ΑΓΙΑ

# ΚΑΙ ΟΙΚΟΥΜΕΝΙΚΗ

ΕΝ ΦΛΩΡΕΝΤΙΑ

ΣΥΝΟΔΟΣ.

## ΤΟΜΟΣ ΠΡΩΤΟΣ

SANCTA

# GENERALIS FLORENTINA

SYNODVS.

## TOMVS PRIMVS.

Excudebat Stephanus Paulinus.

BIBLIOTECA UNIVERSITARIA SALAMANCA

# ΤΟΙΣ ΕΝΤΕΥΞΟΜΕΝΟΙΣ.

ΟΤΙ μὲν κοινὸν ταῖς ἱεραῖς ἁπάσαις συνόδοις ἀξίωμα, μάλιστα δὴ ἃς οἰκουμενικὸν τῆς καθολικῆς ἐκκλησίας συνεκρότησεν ἄθροισμα, τὸ ἰσοδύναμον καὶ ἰσότιμον, διὰ τὴν ἐφεστῶσαν αὐταῖς καὶ παρεσομένην ἐσαεὶ τοῦ παναγίου Πνεύματος ὑφήγησιν, πρὸς πᾶσαν ὁδηγοῦντος ἀλήθειαν, παντί που δῆλον. ἀλλ᾽ οὐδ᾽ ἐκεῖνο ἀμφίβολον, ὡς τὸ παραλλάττον τῶν ὑποθέσεων, καὶ τοῦ χρησιμεύοντος τὸ διάφορον διαφορὰν ἐν αὐταῖς οὐ τὴν τυχοῦσαν καθίστησιν. ἴσμεν γὰρ ταῖς ἀρχαιοτάταις τῶν συνόδων μεμεληκέναι πάσῃ σπουδῇ τὸ τοῖς θείοις προσώποις δογματισθῆναι τὸ ὁμοούσιον. εἶτ᾽ ἐφεξῆς ταῖς μεταγενεστέραις πεπραγματεῦσθαι τό, τε μοναδικὸν τοῦ προσώπου, καὶ τὸ διττὸν ἐν Χριστῷ τῶν φύσεων καὶ θελήσεων, καὶ τὰς ἐκκλησιαστικὰς παραδόσεις, ἢ καὶ σχισματικοῦ ζιζανίου ἀποτομήν, καὶ κανονικῶν παραγγελμάτων διάδοσιν. ὡς εἶναι τὰς προτέρας μὲν ὑπερβαλλούσας τῷ ὄγκῳ τῆς ὑποθέσεως, τὰς μετὰ ταῦτα δὲ μᾶλλον ὑπερτερεῖν τῷ χρησίμῳ τῆς διασκέψεως. μόνη δὴ μία τῶν οἰκουμενικῶν ἡ ἐν Φλωρεντίᾳ σύνοδος ἄμφω πεπλούτηκεν, ἀξιώματι καὶ κοινωφελείᾳ σχεδὸν ἁπάσαις ἀντίρροπος. αὕτη τὸ περὶ τῆς ἐκπορεύσεως τοῦ παναγίου Πνεύματος δόγμα διακρινήσασα, λαμπρῶς καὶ τοῦ Υἱοῦ τὸ ὁμοούσιον ἀνεκήρυξεν. Εἰ μὴ γὰρ εἶχεν ὁ Υἱὸς τὸ πνέειν παρὰ τοῦ φύσαντος, πῶς ἂν ὅλως ὑπῆρχεν ἐκείνῳ συμφυὴς καὶ ὁμοούσιος; οὐ μόνον δέ, ἀλλὰ καὶ τῆς ἀναιμάκτου θυσίας τὴν ὕλην διεσαφήνισεν, ἀντίστροφον οὐκ ἀντιστρατευόμενον ἀνατολῆς καὶ δύσεως ἀποφηναμένη τὸ ἔθος. ναὶ μὴν καὶ τῆς ἀποστολικῆς Καθέδρας τὸ παντεπίσκοπον, ὅπως τε αἱ ψυχαὶ ἁγνίζονται μετὰ θάνατον, καὶ δόξης μεταλήψεσιν ἀκηράτου αἱ τὸν θεὸν ἐποπτεύουσαι. Ταῦτα δὴ ἐκδοὺς τὰ σωτηριωδέστατα δόγματα ὁ σεβάσμιος ἐν Φλωρεντίᾳ σύλλογος τὸ παλαιωθὲν ἐπ᾽ ὀλέθρῳ τῶν ψυχῶν σχίσμα ὅσον ἐπ᾽ αὐτῷ ῥιζόθεν ἀνέσπασεν. ὡς εἴπερ οἱ ἀνατολικοὶ τὰ ἐνθέσμως κυρωθέντα πάλαι ἐδέξαντο, οὐκ ἂν ὑπῆρχε νῦν ὁρᾶν τὰ πολλῶν ἄξια δακρύων, ὑφ᾽ ὧν καταπλυζομένης ὅλης τῆς ἀνατολῆς δεινοπαθεῖ ἡ καθολικὴ ἐκκλησία. Καὶ τὴν ἂν ξυμφωνίαν σύμπασιν οὐ περὶ μόνα δὴ ταῦτα τὰ πέντε κεφάλαια, ἀλλὰ καὶ τὰς ἐκείνων παραφυάδας, ὧν ἐξεκόπη ἂν τὰ

βλασήματα

# AD LECTOREM.

CVM Sacrosancta omnia Ecclesiæ Catholicæ Concilia, præsertim generalia, ob perpetuam & nunquam illis defuturam sancti Spiritus præsentiam, docentis omnem veritatem, eadem vi, eadem auctoritate polleant; certe diuersorum in illis argumentorum dignitas, & adhibitorum remediorum vtilitas non eadem semper fuere. Notum sane est, prima illa venerandæ antiquitatis Concilia in tuenda, explicandaque diuinarum consubstantialitate personarum suam operam posuisse, summam contulisse industriam: Deinceps posteriora vel de vnica Christi Domini persona, duplicique natura & voluntate; vel de sacris Ecclesiæ traditionibus; aut demum de tollendo schismatis zizanio, informandisque moribus egisse: vt prioribus materiæ dignitas, posterioribus vtilitas potius ascribenda sit. Vnum generale Florentinum Concilium ita summam dignitatem cum summa vtilitate coniunxit, vt fere instar omnium sit. Siquidem in eo ita de æterna Spiritus sancti processione actum est, vt simul & Filij consubstantialitas apertissimè demõstretur. Quę enim esset eius cũ Patre consubstantialitas, si non & ipse cum illo sancti Spiritus esset origo? Actum præterea est de incruenti materia Sacrificij pro diuerso, non aduerso Orientalium, & Occidentalium more; De primæ sedis potestate, De purgatione animarum, Deque fruentium Deo Sanctorum gloria. Quibus saluberrimis dogmatibus hoc venerabile Concilium ita quantum in se fuit, perniciosissimas inueterati schismatis euulsit radices, vt si Orientales illud suscepissent, nihil esset nobis deplorandum de tot tantisque cladibus, quantis vniuersus Oriens, Ecclesia Catholica ingemiscente, profligatur. Nec solum de quinque his præcipuis capitibus inter omnes conueniret, sed multorum quoque agnatorum errorum præcisa fuisset occasio, quos longum est enumerare; & quorum ille caput est, Non nisi septem admittenda Concilia generalia

ralia

# ΥΠΟΘΕΣΙΣ ΤΗΣ ΑΓΙΑΣ

## ΚΑΙ ΟΙΚΟΥΜΕΝΙΚΗΣ ΕΝ ΦΛΩΡΕΝΤΙΑι

## Συνόδου.

ΑΠΩΣΑΜΕΝΟΙ τὴν ἀγαθὴν τινὲς συνείδησιν, φησὶν ὁ θεῖος Ἀπόστολος, ἐναυάγησαν περὶ τὴν πίστιν. ἀπωσάντων δὲ τὴν ἀγαθὴν συνείδησιν ὑπὸ τῆς ἄγαν φιλαρχίας, ἣν οὐχ ἧττον τῆς φιλαργυρίας κακῶν ἁπάντων ῥίζαν προσειπών τις οὐκ ἂν ἁμάρτοι. ταύτης γὰρ τὴν ψυχὴν ἐπινεμομένης καὶ ὁ τῆς ἀγάπης διαλύεται σύνδεσμος, καὶ ἡ τοῦ θεοῦ εἰρήνη ἐν ταῖς καρδίαις οὐ μετ' εὐφροσύνης βραβεύει, ἀλλὰ μετὰ διχονοίας ἀπομαραίνεται. εἶχε ποτὲ βαθεῖα τὴν ἐκκλησίαν εἰρήνη, καὶ οὐ κατεφθέγγετο τῆς δύσεως ἡ ἀνατολή, ἀλλὰ τὴν αὐτὴν συμφώνως πίστιν ἠχοῦσαι, ἐναρμόνιον συνεκρότουν ὀρθοδοξίαν. ἐξ οὗ δὲ Φώτιος τὴν ἀγαθὴν ἀπεώσατο συνείδησιν, δόλῳ καὶ πανουργίαις τοῦ θρόνου Κωνσταντινουπόλεως ἐξοστρακίσας τὸν ἱερὸν πατριάρχην Ἰγνάτιον, καὶ τῷ ὑφαρπαγέντι θρόνῳ ἐμπαροινήσας, κἀπὶ τούτῳ δικαίᾳ ψήφῳ καταγνωσθεὶς ὑπὸ τοῦ ἀοιδίμου Πάπα Νικολάου, καὶ περὶ τὴν πίστιν ἐναυάγησεν, πάντα τὰ κεῖ ζάλης μεστὰ καὶ τρικυμίας ἐγένετο. θυμῷ γὰρ ὑπερζέσας ὁ γεννάδας, καὶ τῇ λύπῃ φλεγμήνας, οἷος ἐγένετο περὶ τὸν Ἰγνάτιον πατραλοίας, τοιοῦτος καὶ περὶ τὴν ῥωμαϊκὴν ἐκκλησίαν ἐπεγνώσθη μητραλοίας. καὶ σοφὸς ὢν τοῦ κακοποιῆσαι πρὸς ἄμυναν ἐξωπλίσθη, ὥσπερ οὐκ εἰς ἄλλους αὐτὸς ἐξυβρίσας, ἀλλ' ὑφ' ἑτέρων πεπονθὼς τὰ δεινότατα. Κατανοήσας γοῦν τὸ ἱερὸν τῆς πίστεως σύμβολον ἐν τῇ Ῥωμαίων ἐκκλησίᾳ μετὰ τῆς ἀναγκαίας καὶ εὐλογωτάτης φερόμενον ἀναπτύξεως, ἔνθα καὶ ἐκ τοῦ Υἱοῦ τὸ πανάγιον ὁμολογεῖται Πνεῦμα, ἕρμαιον τοῦτο λαβών, τὸν ἄσπονδον κατὰ Λατίνων ἀνεκήρυξε πόλεμον, ἐπιστολὴν συγγράψας ἐγκύκλιον, καὶ ἄλλα φιλοπονήματα· ἐν οἷς πρῶτον μὲν καταιτιᾶται, ὡς κιβδηλεύσαιεν οἱ Λατῖνοι τὸ σύμβολον, καὶ δόγμα ἔκφυλον εἰσαγάγοιεν περὶ τῆς ἐξ ἀμφοῖν ἐκπορεύσεως, καὶ τὰ σάββατα νηστεύοιεν, καὶ γαμεταῖς συνεῖναι τοῖς ἱερεῦσιν ἀπαγορεύοιεν, καὶ μύρῳ χρίειν τοὺς βαπτισθέντας ἀρχιερέων ἄνευ διδάσκοιεν. πρὸς τούτοις τὴν ἀκρότητα τῆς ἀποστολικῆς κορυφαίας ἐκφαυλίσαι προθέ-

# ΤΑ ΠΡΟ ΤΗΣ ΑΓΙΑΣ
# ΚΑΙ ΟΙΚΟΥΜΕΝΙΚΗΣ
# ΕΝ ΦΛΩΡΕΝΤΙΑ ΓΕΝΟΜΕΝΗΣ
# ΣΥΝΟΔΟΥ

# QVAE SANCTAM
# GENERALEM
# FLORENTINAM
# SYNODVM ANTECEDVNT.

## ΠΕΡΙ ΤΩΝ ΑΡΜΕΝΙΩΝ

ΠΑρελθουσῶν δὲ ἡμερῶν τινων, ἦλθον ἀπὸ τῆς Ἀρμενίας ἀποκρισιάριοι ἐνάρετοι ἄνθρωποι παρὰ τοῦ πατριάρχου τῶν Ἀρμενίων, ζητοῦντες ἕνωσιν καὶ αὐτοί, καὶ τὴν ὀρθοδοξίαν τῆς πίστεως· οἳ καὶ τὸν μακαριώτατον πάπαν προσκυνήσαντες, τῷ βασιλεῖ ἐνεφανίσθησαν, καὶ τὴν βουλὴν αὐτῶν ἀνέφερον, καὶ ὅπως βούλονται τῇ ἐκκλησίᾳ τῇ καθολικῇ ἑνωθῆναι ἐξηγήσαντο· καὶ παρ' αὐτοῦ ἐζήτουν βοήθειαν καὶ ἐπίσκεψιν. ὁ δὲ βασιλεὺς αὐτοῖς ἀπεκρίνατο, ὅτι τε ἀρεστόν ἐστι λίαν τὸ σπουδαζόμενον, καὶ ὅτι ἐὰν προσέλθωσι τῇ ὀρθοδόξῳ πίστει καὶ τῇ καθολικῇ ἐκκλησίᾳ, ἀρεστὸν ἔσται αὐτῷ· καὶ ὅτι, φησί, παρακαλῶ τὸν Θεὸν ὀρθοτομῆσαι τὴν ἕνωσιν αὐτῶν· καὶ ὅτι ἐὰν τοῦτο γένηται, ἔσται καὶ αὐτὸς βοηθὸς εἰς πᾶν ὁτιοῦν ἔργον καὶ χρείαν αὐτῶν. Τούτων ῥηθέντων ἀπῆλθον καὶ οἱ Ἀρμένιοι· ἡμεῖς δὲ ἐξελθόντες ἀπὸ Φλωρεντίας ἤλθομεν εἰς Βενετίαν, κἀκεῖθεν πάλιν εἰς τὰ ἴδια.

## DE ARMENIIS.

POst aliquot dies venerũt ex Armenia Apocrisarij Patriarchæ Armeniorum virtute præstantes viri, quærentes & ipsi vnionem, fideique rectitudinem; qui etiam beatissimum Papam venerati, viserunt Imperatorem; consiliumque suum & animum de conficienda cum Ecclesia catholica vnione exposuerunt, petentes vt ferret auxilium, & prudentia sua iuuaret. Imperator autem respondit, multum sibi placere eorum studium: & gratum fore, si accesserint ad orthodoxam fidem, & catholicam Ecclesiam; & precari Deum pro dirigenda eorum vnione; quæ si fieret, se quoque promisit ad negotium quodlibet, & quicquid illis opus fuerit, adiutorem. His dictis recesserunt Armenij; nos vero Florentia exeuntes Venetias petiuimus, & inde rursus domum redijmus.